# ΑΚΟΛΟΥΘΙΑ
# ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΚΟΣΜΙΚΟΥΣ, ΝΗΠΙΑ
## ΚΑΙ Η ΨΑΛΛΟΜΕΝΗ
## ΕΝ ΤΗ ΕΒΔΟΜΑΔΙ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

ΔΕΥΤΕΡΑ ΕΚΔΟΣΙΣ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΤΟΥΛΑΣ & ΜΑΥΡΑΚΟΣ
ΕΡΜΟΥ 45 ΠΑΤΡΑΙ

# ΑΚΟΛΟΥΘΙΑ
# ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΚΟΣΜΙΚΟΥΣ, ΝΗΠΙΑ
## ΚΑΙ Η ΨΑΛΛΟΜΕΝΗ
## ΕΝ ΤΗ ΕΒΔΟΜΑΔΙ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

ΔΕΥΤΕΡΑ ΕΚΔΟΣΙΣ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΤΟΥΛΑΣ & ΜΑΥΡΑΚΟΣ
ΕΡΜΟΥ 45 ΠΑΤΡΑΙ

# ΑΚΟΛΟΥΘΙΑ

## ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΚΟΣΜΙΚΟΥΣ

Τελευτήσαντός τινος τῶν Ὀρθοδόξων, εὐθὺς προσκαλεῖται, παρὰ τῶν συγγενῶν αὐτοῦ, ὁ Ἱερεύς· ὃς καὶ ἀπελθὼν εἰς τὸν οἶκον ἐν ᾧ τὸ λείψανον κεῖται, καὶ βαλὼν ἐπιτραχήλιον, καὶ ἐπὶ τὸν θυμιατὸν θυμίαμα, εὐλογεῖ συνήθως τὸν Εὐλογητὸν Θεόν, καὶ ἄρχονται οἱ συμπαρόντες τό, Ἅγιος ὁ Θεός· Παναγία Τριάς· Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστὶν ἡ Βασιλεία κ.τ.λ. καὶ τὰ Τροπάρια ταῦτα.

**Ἦχος δ'**

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν τοῦ δούλου σου, Σῶτερ, ἀνάπαυσον· φυλάττων αὐτὴν

εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον, Κύριε, καὶ τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

## Δόξα Πατρί.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς ᾍδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου σου, Σῶτερ, ἀνάπαυσον.

## Καὶ νῦν.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε ὑπὲρ τοῦ συγχωρηθῆναι τὴν ψυχὴν τοῦ δούλου σου.

Ὁ Ἱερεύς. Ἐλέησον ἡμᾶς ὁ Θεός,

κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦ δε), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν παρὰ Χριστοῦ τοῦ ἀθανάτου Βασιλέως καὶ Θεοῦ ἡμῶν αἰτησώμεθα.

**Τοῦ Κυρίου δεηθῶμεν.**

Ο Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὴν ψυχὴν

τοῦ κεκοιμημένου δούλου σου (τοῦδε), καὶ τάξον αὐτὴν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτοῦ πραχθέν, ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται ἐπὶ τῆς γῆς καὶ οὐχ᾽ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή, καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου (τοῦ δε), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι,

νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα, καὶ νῦν. Καὶ Ἀπόλυσις.

Καὶ εἰ μὲν ἕτοιμά εἰσιν ἅπαντα τὰ τοῦ ἐξοδίου, εὐλογεῖ αὖθις ὁ Ἱερεύς, καὶ ἀρχόμεθα ψάλλειν τὸ Ἅγιος ὁ Θεός, μετὰ φόβου καὶ πάσης κατανύξεως. Καὶ ἄραντες τὸ λείψανον, ἀπερχόμεθα εἰς τὸν Ναόν, προπορευομένων τῶν Ἱερέων μετὰ λαμπάδων, καὶ τοῦ Διακόνου μετὰ θυμιατοῦ. Ὅταν δὲ ἔλθωσιν ἐν τῷ Ναῷ, τὸ μὲν λείψανον ἀποτίθεται ἐν τῷ Νάρθηκι, καὶ ἄρχονται τοῦ 90 Ψαλμοῦ.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, κτλ

Καὶ μετὰ τοῦτο, γεγονωτέρᾳ τῇ φωνῇ.

Ἄμωμοι ἐν ὁδῷ· Ἀλληλούϊα.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Καὶ ψάλλομεν τὴν πρώτην Στάσιν τοῦ Ἀμώμου, εἰς ἦχον πλ. β΄, λέγοντες ἐν τῷ τέλει ἑκάστου Στίχου: Ἀλληλούϊα.

## Στάσις Α΄

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀλληλούϊα.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου Ἀλληλούϊα.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

**Ὁ Διάκονος**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦ δε), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν παρὰ Χριστοῦ τοῦ ἀθανάτου Βασιλέως καὶ Θεοῦ ἡμῶν αἰτησώμεθα.

**Ὁ Ἱερεὺς ἐκφώνως**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις κλπ.

Καὶ μετὰ τοῦτο ἀρχόμεθα τῆς δευτέρας Στάσεως, εἰς ἦχον πλ. α΄, λέγοντες ἐν ἑκάστῳ Στίχῳ:

Ἐλέησόν με Κύριε.

## Στάσις Β'

Αἱ χεῖρες σου ἐποίησάν με, καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Ἐλέησόν με Κύριε.

Ὅτι ἐγεννήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἐλέησόν με Κύριε.

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἐλέησόν με Κύριε.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με

Ἐλέησόν με Κύριε.

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆ-

σαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι᾿ ἀντάμειψιν.

Ἐλέησόν με Κύριε.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Ἐλέησόν με Κύριε.

Δόξα, καὶ νῦν. Ἐλέησον τὸν δοῦλον σου

**Ὁ Διάκονος**

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦ δε). κλπ.

**Ὁ Ἱερεὺς ἐκφώνως**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή, καὶ ἡ ἀνάπαυσις κλπ.

Καὶ οὕτως ἀρχόμεθα τῆς τρίτης

Στάσεως, εἰς ἦχον πλ. δ´ λέγοντες ἐν ἑκάστῳ Στίχῳ: Ἀλληλούϊα.

## Στάσις Γ'

Καὶ ἐλέησόν με. Ἀλληλούϊα. Ἐπίβλεψον ἐπ᾿ ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεος σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Ἀλληλούϊα.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα

Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός,

ζήτησον τὸν δοῦλον σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

**Καὶ εὐθὺς τά νεκρώσιμα Εὐλογητάρια**

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν Παραδείσου· εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

Εὐλογητὸς εἶ, Κύριε, κτλ.

Ὁ παλάμῃ ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε κτλ.

Εἰκών εἰμι, τῆς ἀρρήτου δόξης σου,

εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον, τὸ σὸν πλάσμα, Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε, κτλ.

Ἀνάπαυσον ὁ Θεὸς τὸν δοῦλον σου, καὶ κατάταξον αὐτὸν ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων, Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· τὸν κεκοιμημένον δοῦλόν σου ἀνάπαυσον, παρορῶν αὐτοῦ πάντα τὰ ἐγκλήματα.

Δόξα. Τριαδικόν.

Τὸ τριλαμπές, τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱός καὶ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων σωτηρίαν, δι' ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε, ἁγνὴ εὐλογημένη. Ἀλληλούϊα (τρίς).

Δόξα σοι ὁ Θεός. Ἐκ γ΄

**Κοντάκιον. Ἦχος πλ. δ'**

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὴν ψυχὴν τοῦ δούλου σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Μετὰ δὲ τὴν ἐκφώνησιν, ἀρχόμεθα τῶν Ἰδιομέλων, Ἰωάννου Μοναχοῦ τοῦ Δαμασκηνοῦ.

**Ἦχος α'**

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα·

μία ροπή, καὶ ταῦτα πάντα θάνατος διεδέχεται· Ἀλλ' ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὅν ἐξελέξω, ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Ἦχος β'

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ, πάντες ἀναστήσονται πρὸς τὴν σὴν ὑπάντησιν, Χριστὲ ὁ Θεός· τότε Δέσποτα, ὅν μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν Ἁγίων σου κατάταξον σκηναῖς, τὸ πνεῦμα τοῦ σοῦ δούλου, Χριστέ.

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη ἐκ τοῦ σώματος! οἴμοι, πόσα δακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν! πρὸς τοὺς Ἀγγέλους τὰ ὄμμα-

τα ῥέπουσα, ἄπρακτα καθικετεύει· πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα οὐκ ἔχει τὸν βοηθοῦντα. Διό, ἀγαπητοί μου ἀδελφοί, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τῷ μεταστάντι τὴν ἀνάπαυσιν, παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Ἦχος γ'**

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ' ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται· διὸ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ βοήσωμεν· τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

**Ἦχος δ'**

Ὄντως φοβερώτατον, τὸ τοῦ θανά-

του μυστήριον, πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται, ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας ὁ φυσικώτατος δεσμός, θείῳ βουλήματι ἀποτέμνεται· Διό σε ἱκετεύομεν, τὸν μεταστάντα ἀναπαυσον, ἐν σκηναῖς τῶν δικαίων σου, Ζωοδότα Φιλάνθρωπε.

### Ἦχος δ'

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια; ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία; ποῦ ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος; ποῦ ἐστι τῶν οἰκετῶν ἡ πλημμύρα καὶ ὁ θόρυβος; πάντα κόνις, πάντα τέφρα, πάντα σκιά. Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ, Κύριε τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον, τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον ἀναπαύων αὐτὸν ἐν τῇ ἀγήρῳ μακαριότητι.

### Ἦχος πλ. α'

Ἐμνήσθην τοῦ προφήτου βοῶντος·

ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα καὶ εἶπον. Ἄρα τίς ἐστι: βασιλεύς ἢ στρατιώτης; πλούσιος, ἢ πένης; δίκαιος, ἢ ἁμαρτωλός; Ἀλλὰ ἀνάπαυσον, Κύριε, μετὰ δικαίων τὸν δοῦλον σου.

**Ἦχος πλ. β'**

Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε καὶ ὁρατῆς μὲ ζώων συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχήν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει· Διό, Χριστέ, τὸν δοῦλον σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων κατάταξον.

**Ἦχος βαρύς**

Ἀνάπαυσον Σωτὴρ ἡμῶν Ζωοδότα

ὃν μετέστησας ἀδελφὸν ἡμῶν ἐκ τῶν προσκαίρων κράζοντας Δόξα σοι.

**Ἦχος βαρὺς**

Κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν, πλαστουργήσας κατ᾽ ἀρχὰς τὸν ἄνθρωπον, ἐν Παραδείσῳ τέθεικας, κατάρχειν σου τῶν κτισμάτων, φθόνῳ δὲ διαβόλου ἀπατηθείς, τῆς βρώσεως μετέσχε, τῶν ἐντολῶν σου παραβάτης γεγονώς· διὰ πάλιν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατεδίκασας ἐπιστρέφειν, Κύριε, καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

**Ἦχος πλ. δ'**

Θρηνῶ καὶ ὀδύρομαι ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ᾽ εἰκόνα Θεοῦ πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος! τὶ τὸ περὶ ἡμᾶς τοῦτο γέ-

γονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ καὶ συνεζεύχθημεν τῷ θανάτῳ; Ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι τὴν ἀνάπαυσιν.

**Δόξα Πατρὶ**

Ὁ θάνατός σου Κύριε ἀθανασίας γέγονε πρόξενος· εἰμὴ γὰρ ἐν μνήματι κατετέθης, οὐκ ἂν ὁ Παράδεισος ἠνέῳκτο. Διὸ τὸν μεταστάντα ἀνάπαυσον ὡς φιλάνθρωπος.

**Καὶ νῦν καὶ ἀεὶ**

Ἁγνὴ Παρθένε τοῦ Λόγου πύλη, τοῦ Θεοῦ ἡμῶν μήτηρ ἱκέτευε, ἐλεηθῆναι τὴν ψυχὴν τοῦ δούλου σου.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν Οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

**Ἦχος πλ. β΄. Οἱ ὅσιοί σου Παῖδες**

Ληστὴν τοῦ Παραδείσου, Χριστέ, πολίτην, ἐπὶ Σταυροῦ σοι βοήσαντα τό, Μνήσθητί μου, προαπειργάσω· αὐτοῦ τῆς μετανοίας, ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

**Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ κτλ.**

Ζωῆς ὁ κυριεύων καὶ τοῦ θανάτου, ἐν ταῖς αὐλαῖς Ἁγίων ἀνάπαυσον, ὅν προσελάβου ἐκ τῶν προσκαίρων, βοῶντα· Μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

**Μακάριοι οἱ δεδιωγμένοι κτλ.**

Χριστός σε ἀναπαύσοι ἐν χώρᾳ

ζώντων, καὶ πύλας Παραδείσου ἀνοίξοι σοι καὶ βασιλείας δείξοι πολίτην, καὶ ἄφεσίν σοι δώῃ, ὧν ἥμαρτες ἐν βίῳ, φιλόχριστε.

Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς κτλ.

Ἐξέλθωμεν καὶ ἴδωμεν ἐν τοῖς τάφοις, ὅτι γυμνὰ ὀστέα ὁ ἄνθρωπος, σκωλήκων βρῶμα καὶ δυσωδία, καὶ γνῶμεν τὶς ὁ πλοῦτος, τὸ κάλλος, ἡ ἰσχὺς καὶ ἡ εὐπρέπεια.

**Χαίρετε καὶ ἀγαλλιᾶσθε κτλ.**

Ἀκούσωμεν τὶ κράζει ὁ Παντοκράτωρ Οὐαὶ οἱ ἐκζητοῦντες θεάσασθαι τὴν φοβερὰν ἡμέραν Κυρίου· αὕτη γὰρ ἔστι σκότος· πυρὶ γὰρ δοκιμάσει τὰ σύμπαντα.

**Δόξα Πατρὶ**

Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ, Πατέρα προσκυνῶ τὸν γεννήσαν-

τα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνέκλαμπον, Πατρί τε καὶ Υἱῷ, Πνεῦμα ἅγιον.

**Καὶ νῦν. Θεοτοκίον**

Πῶς ἐκ μαζῶν σου γάλα βρύεις, Παρθένε; πῶς τρέφεις τὸν τροφέα τῆς κτίσεως; ὡς εἶδεν ὁ πηγάσας ὕδωρ ἐκ πέτρας, τὰς φλέβας τῶν ὑδάτων διψῶντι τῷ λαῷ, καθὼς γέγραπται.

**Προκείμενον. Ἦχος γ΄**

Μακαρία ἡ ὁδός, ᾗ πορεύει σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως.

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

## ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Θεσσαλονικεῖς Α΄ Ἐπισ. Παύλου τὸ ἀνάγνωσμα (Κεφ. δ΄ 13—17).

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς

ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλούϊα.

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. ε΄ 24—30)

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους.

Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτε ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾿ ἐμαυτοῦ

οὐδέν. Καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

**Ὁ Διάκονος**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου κτλ.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ δούλου τοῦ Θεοῦ (δεῖνος κ.τ.λ.).

Καὶ μετὰ τὴν συμπλήρωσιν τούτων, λέγει ὁ πρῶτος τῶν Ἱερέων, ἢ ὁ τυχὼν Ἀρχιερεὺς τὴν Εὐχήν.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός ... μεγαλοφώνως, πλησίον τοῦ λειψάνου ἀπελθών. Ὡσαύτως καὶ οἱ συμπαρόντες Ἱερεῖς ἅπαντες.

Ἰστέον δέ, ὅτι λεγομένης ἑκάστης αἰτήσεως· παρὰ τοῦ Διακόνου, ἐν ὅσῳ λέγεται ἡ αἴτησις παρ᾽ αὐτοῦ, λέγει τὴν ἄνωθεν Εὐχὴν ἕκαστος τῶν ἱερέων κατὰ τὴν τάξιν αὐτοῦ μυστικῶς πλησίον τοῦ λειψάνου καὶ ἐκφωνεῖ:

Ὅτι σὺ εἶ ἡ ἀνάστασις ἡ ζωή, καὶ ἡ ἀνάπαυσις κτλ.

Νῦν δὲ παρὰ τοῦ πρώτου τῶν Ἱερέων, ἢ καὶ τοῦ Ἀρχιερέως, λέγεται μεγαλοφώνως ὡς ἄνωθεν εἴρηται.

Μετὰ δὲ τὴν ἐκφώνησιν, γίνεται ὁ ἀσπασμός, καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ προσόμοια.

**Ἦχος β´**

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε τελευταῖον ἀσπασμόν, δῶμεν ἀδελφοὶ τῷ θανόντι, εὐχαριστοῦντες Θεῷ· οὗτος γὰρ ἐξέλιπε τῆς συγγενείας αὐτοῦ, καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων, τὰ τῆς ματαιότητος καὶ πολυμόχθου σαρκός· ποῦ νῦν συγγενεῖς τε καὶ φίλοι; ἄρτι χωριζόμεθα ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα,

Ποῖος χωρισμός, ὦ ἀδελφοί; ποῖος κοπετός, ποῖος θρῆνος ἐν τῇ παρούσῃ ῥοπῇ; δεῦτε οὖν ἀσπάσασθε τὸν πρὸ

μικροῦ μεθ᾽ ἡμῶν· παραδίδοται τάφῳ γάρ, καλύπτεται λίθῳ, σκότει κατοικίζεται, νεκροῖς συνθάπτεται· πάντες συγγενεῖς τε καὶ φίλοι, ἄρτι χωριζόμεθα, ὅν περ ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ἄρτι ἡ τοῦ βίου πονηρά, λύεται πανήγυρις πᾶσα τῆς ματαιότητος· πνεῦμα γὰρ ἐξέλιπεν ἀπὸ σκηνώματος· ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος ἐρράγη, ἄφωνον, ἀναίσθητον, νεκρόν, ἀκίνητον· ὅν περ παραπέμποντες τάφῳ, Κύριον εὐξώμεθα δοῦναι εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Οἷα ἡ ζωὴ ἡμῶν ἐστιν, ἄνθος καὶ ἀτμίς τε καὶ δρόσος, ἑωθινὴ ἀληθῶς· δεῦτε οὖν κατίδωμεν, ἐπὶ τοὺς τάφους τρανῶς· ποῦ τὸ κάλλος τοῦ σώματος; καὶ ποῦ ἡ νεότης; ποῦ εἰσι

τὰ ὄμματα καὶ ἡ μορφὴ τῆς σαρκός; πάντα ἐξηράνθη ὡς χόρτος, πάντα ἠφανίσθησαν· δεῦτε, τῷ Χριστῷ προσπέσωμεν ἐν δάκρυσι.

Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας στεναγμός, καὶ ἀνάγκη, ὁ χωρισμὸς τῆς ψυχῆς· ᾅδης καὶ ἀπώλεια ἡ τῶν προσκαίρων ζωή, ἡ σκιὰ ἡ ἀνύπαρκτος, ὁ ὕπνος τῆς πλάνης, ὁ ἀκαιροφάνταστος μόχθος τοῦ βίου τῆς γῆς, πόρρω ἐκφευξώμεθα κόσμου ἅπαν τὸ ἁμάρτημα, ἵνα τὰ οὐράνια κληρονομήσωμεν.

Πάντα τὰ τοῦ σώματος νυνὶ ὄργανα ἀργὰ θεωροῦνται, τὰ πρὸ μικροῦ κινητά· πάντα ἀνενέργητα, νεκρά, ἀναίσθητα· ὀφθαλμοὶ γὰρ κατέδυσαν, ἐδέθησαν πόδες, χεῖρες ἡσυχάζουσι, καὶ ἀκοὴ σὺν αὐτοῖς, γλῶσσα τῇ σιγῇ

συνεκλείσθη, τάφῳ παραδίδοται· ὄντως ματαιότης πάντα τὰ ἀνθρώπινα!

### Θεοτοκίον

Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μήτηρ τοῦ ἀδύτου Ἡλίου, Θεογεννήτρια· αἴτησαι πρεσβείαις σου, τὸν Ὑπεράγαθον, ἀναπαῦσαι δεόμεθα, τὸν νῦν μεταστάντα, ἔνθα ἀναπαύονται αἱ τῶν Δικαίων ψυχαί· θείων ἀγαθῶν κληρονόμον, δεῖξον ἐν αὐλαῖς τῶν Δικαίων, εἰς μνημόσυνον, πανάμωμε, αἰώνιον.

### Δόξα. Ἦχος πλ. β΄

Ὁρῶντες μὲ ἄφωνον καὶ ἄπνουν προκείμενον, κλαύσατε πάντες ἐπ᾽ ἐμοί, ἀδελφοὶ καὶ φίλοι, συγγενεῖς καὶ γνωστοί· τὴν γὰρ χθὲς ἡμέραν μεθ᾽ ὑμῶν ἐλάλουν, καὶ ἄφνω ἐπῆλθέ μοι ἡ φοβερὰ ὥρα τοῦ θανάτου. Ἀλλὰ δεῦτε πάντες οἱ ποθούμε-

νοί με, καὶ ἀσπάσασθέ με τὸν τελευταῖον ἀσπασμόν· οὐκ ἔτι γὰρ μεθ' ὑμῶν πορεύσομαι, ἢ συλλαλήσω τοῦ λοιποῦ· εἰς κριτὴν γὰρ ἀπέρχομαι, προσωποληψία οὐκ ἔστι· δοῦλος γὰρ καὶ δεσπότης ὁμοῦ παρίστανται, βασιλεὺς καὶ στρατιώτης, πλούσιος καὶ πένης, ἐν ἀξιώματι ἴσῳ· ἕκαστος γὰρ ἐκ τῶν ἰδίων ἔργων ἢ δοξασθήσεται ἢ αἰσχυνθήσεται. Ἀλλ' αἰτῶ πάντας καὶ δυσωπῶ, ἀδιαλείπτως ὑπὲρ ἐμοῦ προσεύξασθαι Χριστῷ τῷ Θεῷ, ἵνα μὴ καταταγῶ, διὰ τὰς ἁμαρτίας μου, εἰς τὸν τόπον τῆς βασάνου, ἀλλ' ἵνα μὲ κατατάξῃ, ὅπου τὸ φῶς τῆς ζωῆς.

**Καὶ νῦν Θεοτοκίον. Ὁ**

Πρεσβείαις τῆς τεκούσης σε, Χριστὲ καὶ τοῦ Προδρόμου σου, Ἀποστό-

λων, Προφητῶν Ἱεραρχῶν, Ὁσίων καὶ Δικαίων, καὶ πάντων τῶν Ἁγίων, τὸν κοιμηθέντα δοῦλον σου ἀνάπαυσον,

Τρισάγιον. Παναγία Τριὰς Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Μετὰ πνευμάτων δικαίων, κτλ. Ἡ αἴτησις παρὰ τοῦ Διακόνου, καὶ ἡ Εὐχὴ παρὰ τοῦ Ἱερέως.

## ΑΠΟΛΥΣΙΣ

Ο ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ ἁγίου τετραημέρου φίλου τοῦ Χριστοῦ Λαζάρου, καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου σου, ἐν σκηναῖς

Δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι, καὶ μετὰ Ἁγίων καὶ Δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι, ὡς ἀγαθὸς καί φιλάνθρωπος. Ἀμήν.

Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν. Ἐκ τρίτου

Καὶ οὕτως ἄραντες τὸ λείψανον, ἀπερχόμεθα εἰς τὸν τάφον, ψάλλοντες, τό, Ἅγιος ὁ Θεός· Παναγία Τριάς· Πάτερ ἡμῶν κτλ. καὶ τίθεται τὸ λείψανον ἐν τῷ μνήματι. Ὁ δὲ Ἱερεὺς ἄρας χοῦν μετὰ πτύου σταυροειδῶς ἐπιρρίπτει ἐπάνω τοῦ λειψάνου λέγων:

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ

Καὶ μετὰ τοῦτο ἐπιχέει ἐπὶ τῷ λειψάνῳ κανδήλαν, ἤ τὴν τέφραν τοῦ θυμιατηρίου. Καὶ οὕτω καλύπτουσιν, ὡς συνήθως τὸν τάφον, ἐπιλεγομένων τῶν Τροπαρίων.

Μετὰ πνευμάτων Δικαίων, καὶ ἕτερα ἅπαντα· καὶ ἀπόλυσις.

Ἰστέον δέ, ὅτι ὁ τοιοῦτος τύπος γίνεται καὶ εἰς κοιμηθείσας γυναῖκας, εἰς παῖδας τῶν Ὀρθοδόξων, ἐναλλαττομένου μόνον τοῦ ὀνόματος, ἀπό τε ἀρσενικοῦ εἰς θηλυκὸν καὶ οὐχ' ἕτερον.

# ΑΚΟΛΟΥΘΙΑ
# ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΝΗΠΙΑ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Ὁ κατοικῶν ἐν βοηθείᾳ. Ἀλληλούϊα γ΄. Ἄμωμοι ἐν ὁδῷ. Ὁ βάθει σοφίας. Δόξα καὶ νῦν. Σὲ καὶ τεῖχος καὶ λιμένα κλπ Ὡς ἀνωτέρω

**Εἶτα ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον** (1)

**Προκείμενον, Ἦχος δ΄**

Στιχ. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται

Πρός σε, Κύριε, κεκράξομαι ὁ Θεὸς μου

Πρὸς Ρωμαιους Επιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Κεφ. ΣΓ. 9 – 11).

Ἀδελφοί, Χριστὸς ἐγερθεὶς ἐκ νε-

---

(1) Ἀμφότερα κατὰ τὴν τοῦ Οἰκουμενικοῦ Πατριαρχείου ἔκδοσιν τῆς Κ. Διαθήκης.

κρῶν, οὐκ ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. ΙΗ΄ 15-17. 26-27.

Τῷ καιρῷ ἐκείνῳ, προσέφερον τῷ Ἰησοῦ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται καὶ ἰδόντες οἱ Μαθηταὶ ἐπετίμησαν αὐτοῖς Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ εἶπεν· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν

τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Λέγουσιν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ. Καὶ τὶς δύναται σωθῆναι; Ὁ δὲ εἶπε. Τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ παρὰ τῷ Θεῷ ἐστιν.

**Εἶτα συναπτὴ μικρά· καὶ μετὰ ταῦτα ἡ**

## ΕΥΧΗ

Ὁ φυλάσσων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι διὰ τὸ τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον, τοὺς Ἀβραμιαίους κόλπους ἀποπληρῶν, καὶ φωτοειδέσι τόποις κατασκηνῶν, ἐν οἷς αὐλίζεται τῶν δικαίων τὰ πνεύματα· Αὐτὸς Δέσποτα, πρόσδεξαι ἐν εἰρήνῃ καὶ τοῦ δούλου σου (δεῖνος) τὴν ψυχήν. Αὐτὸς γὰρ εἶπας· Τῶν τοιούτων εἶναι ἡ βασιλεία τῶν οὐρανῶν.

Ἐκφώνως. Ὅτι σοῦ μόνον ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κτλ.

### Εἶτα τὸ Ἐξαποστειλάριον

Νῦν ἀνεπαυσάμην, καὶ εὗρον ἄνεσιν πολλήν, ὅτι μετέστην ἐκ φθορᾶς, καὶ μετετέθην πρὸς ζωήν· Κύριε δόξα σοι.

Στίχ. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ.

Στίχ. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ.

Στίχ. Καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

**Καὶ καθ' ἕκαστον στίχον λέγεται τὸ Ἐξαποστειλάριον**

**Δόξα καὶ νῦν**

Νῦν ἐξελεξάμην, τὴν Θεομήτορα Κόρην, ὅτι ἐτέχθη ἐξ αὐτῆς Χριστὸς ὁ πάντων λυτρωτής· Κύριε δόξα σοι.

### Εἰς τοὺς Αἴνους. Στιχηρά.

**Ἦχος πλ. δ'**

**Ὢ τοῦ παραδόξου θαύματος!**

Ὤ, τὶς μὴ θρηνήσῃ, τέκνον μου, τὴν ἐκ τοῦ βίου τανῦν, πενθηράν σου μετά-

στασιν; ὅτι βρέφος ἄωρον, ἐκ μητρικῶν ἀγκαλῶν νῦν, ὥσπερ στρουθίον τάχος ἐπέτασας, καὶ πρὸς τὸν Κτίστην πάντων κατέφυγες; ὢ τέκνον, τὶς ποτε μὴ θρηνήσῃ βλέπων σου τὸ ἐμφανὲς πρόσωπον εὐμάρμντον, τὸ πρὶν ὡς ῥόδον τερπνόν; Δίς.

Ὦ, τὶς μὴ στενάξῃ, τέκνον μου, καὶ μὴ βοήσῃ κλαυθμῷ, τὴν πολλὴν σου εὐπρέπειαν, καὶ τὴν ὡραιότητα τῆς ἁγνῆς πολιτείας σου; ὥσπερ γὰρ ναῦς τις, ἴχνος οὐκ ἔχουσα, οὕτως ὑπέδυς ἐξ ὀφθαλμῶν μου ταχύ. Δεῦτε οἱ φίλοι μου, συγγενεῖς καὶ γείτονες, ἅμα ἐμοί, τοῦτο ἀσπασώμεθα, τάφῳ ἐκπέμποντες.

Θάνατος νηπίοις ἄνεσις· τῶν γὰρ τοῦ βίου κακῶν ἀνεπίδεκτα ὤφθησαν, καὶ πρὸς λῆξιν ἔφθασαν καὶ χαρὰν ἐπουράνιον· τοῦ Ἀβραὰμ τοῖς κόλποις ἀγάλλονται καὶ τῶν νηπίων

ἁγίων θείοις χοροῖς, νῦν συνευφραίνονται καὶ πιστῶς χορεύουσιν, ὅτι φθορᾶς, τῆς φιλαμαρτήμονος, ἁγνοὶ μετέστησαν

**Δόξα. Ἦχος πλ. β'**

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν, ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδέμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο· δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος, παγγενῆ κατεσθίων τὸν ἄνθρωπον· ἀλλ' ἐλθὼν ὁ Δεσπότης καθεῖλε τὸν δράκοντα, καὶ ἀνάπαυσιν ἡμῖν ἐδωρήσατο. Πρὸς αὐτὸν οὖν βοήσωμεν. Φεῖσαι, Σωτήρ, καὶ ὃν προσελάβου, μετὰ τῶν Ἁγίων ἀνάπαυσον, ὡς φιλάνθρωπος.

**Καὶ νῦν. Θεοτοκίον**

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε παρθένε, σῶζε πόλιν καὶ λαόν,

τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

**Καὶ μετὰ ταῦτα, τοῦ ἀσπασμοῦ τὰ Τροπάρια καὶ Ἀπόλυσις**

**Καθ᾿ ὁδὸν καὶ ἐν τῷ τάφῳ ψάλλονται τὰ συνήθη.**

# ΑΚΟΛΟΥΘΙΑ
# ΝΕΚΡΩΣΙΜΟΣ ΤΩΝ ΚΟΣΜΙΚΩΝ

## Εἰ τύχοι τῇ Ἑβδομάδι τῆς Διακαινησίμου

### Ἐκ τοῦ Ἰλλυρικοῦ Εὐχολογίου μεταφρασθεῖσα

Δεῖ γινώσκειν ὅτι ἐὰν γένηταί τινὰ ἀδελφὸν ἐκδημῆσαι πρὸς Κύριον ἐν τῇ ἁγίᾳ Ἑβδομάδι τῆς Διακαινησίμου, οὐ ψάλλομεν ἐπ᾽ αὐτοῦ τὴν συνειθισμένην ἀκολουθίαν τῶν κεκοιμημένων, ἀλλὰ πᾶσαν τὴν Ἀναστάσιμον Ἀκολουθίαν, οὕτως.

Ἀπερχόμεθα ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου, εἰ ἔστι, καὶ τῶν Κληρικῶν αὐτοῦ εἰς τὸν οἶκον τοῦ τεθνεῶτος, καὶ βαλὼν ἐπιτραχήλιον καὶ φελόνιον, θυμιᾷ τὸ λείψανον, ὡς ἔθος, καὶ ἄρχεται λέγων.

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, κτλ.**

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος γ΄.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον, Ἰη-

σοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν Ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· Ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. Ἐκ γ᾽.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύ-

ξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

**Κοντάκιον αὐτόμελον. Ἦχος πλ. δ΄**

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, Ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδη δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ Ληστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

**Δόξα**

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος ὄντως καὶ παστάδος πάσης βασιλικῆς ἀναδέδεικται λαμπρότερος,

Χριστέ, ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν Ἀναστάσεως.

**Καὶ νῦν. Θεοτοκίον**

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε, τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις πανάμωμε Δέσποινα.

**Τὸ Κύριε ἐλέησον μ΄ Δόξα καὶ νῦν.**

Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Εἶτα τὸ Χριστὸς Ἀνέστη, τὸ ὁποῖον ψάλλομεν μέχρι τοῦ Ναοῦ.

Ἐν τῷ Ναῷ· Εὐλογητὸς ὁ Θεὸς κτλ. Χριστὸς ἀνέστη ἅπαξ, οἱ δὲ δύο χοροὶ ἀνὰ μίαν. Εἶτα ψάλλονται αἱ Καταβασίαι.

**Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.**

«Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοί· Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν καὶ ἐκ γῆς

πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας».

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καί, Χαίρετε, φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπαξ καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

**Καταβασίαι. Ἀναστάσεως ἡμέρα κτλ.**

**Εἶτα τὸ Χριστὸς ἀνέστη τρίς·**

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

**Ταῦτα λέγονται μεθ' ἑκάστην Ὠδήν.**

**Αἴτησις καὶ ἐκφώνησις. Ὅτι σὸν τὸ κράτος κτλ.**

**Ὠδὴ γ'. Ὁ Εἱρμός**

«Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ

πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ ἐν ᾧ στερεούμεθα».

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν ἔγερσιν Χριστοῦ ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι, Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι, συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον, Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

**Καταβασία. Δεῦτε πόμα πίωμεν κτλ.**

**Αἴτησις καὶ ἐκφώνησις· Ὅτι σὺ εἶ κτλ.**

**Ἡ ὑπακοή. Ἦχος δ'.**

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου. Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα μετὰ νεκρῶν τί ζητεῖτε ὡς

ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

**Ὠδὴ δ.΄ Ὁ Εἱρμός**

«Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ᾿ ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντας· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστὸς ὡς βροτὸς δέ, ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται

Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν στέφανος Χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ κα-

θαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος

**Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς κτλ.**

Αἴτησις καὶ Ἐκφώνησις. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, κτλ.

**Ὠδὴ ε΄. Ὁ Εἱρμός.**

«Ὀρθρίσωμεν ὄρθρου βαθέος καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο, Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι. Πάσχα Θεοῦ τὸ σωτήριον.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου κτλ.

Αἴτησις καὶ Ἐκφώνησις. Ὅτι ἡγίασται κτλ.

**Ὠδὴ στ΄. Ὁ Εἱρμός.**

«Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς καὶ συνέτριψας μοχλοὺς αἰωνίους κατόχους πεπεδημένων, Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου».

Φυλάξας τὰ σήμαντρα σῶα, Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν Παραδείσου τὰς πύλας.

Σῶτερ μου, τὸ ζῶν τε καὶ ἄθυτον ἱερεῖον ὡς Θεός, σεαυτὸν ἑκουσίως προσαγαγὼν τῷ Πατρί, συνανέστησας

παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις, κτλ.
Αἴτησις καὶ Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ βασιλεὺς κτλ.

**Κοντάκιον. Ἦχος πλ. δ'**

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, Ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

**Ὁ Οἶκος**

Τὸν πρὸ ἡλίου Ἥλιον δύναντά ποτε ἐν τάφῳ προέφθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν, Μυροφόροι κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων. Ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν Σῶμα ζωηφόρον καὶ τεθαμμένον, Σάρκα ἀνιστῶσαν τὸν παραπε-

σόντα Ἀδάμ, κείμενον ἐν τῷ μνήματι ἄγομεν, σπεύσωμεν, ὥσπερ οἱ μάγοι καὶ προσκυνήσωμεν καὶ προσκομίσωμεν τὰ μῦρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι ἐνειλημμένῳ· καὶ κλαύσωμεν καὶ κράξωμεν· Ὦ Δέσποτα, ἐξεγέρθητι, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

**Ὠδὴ ζ'. Ὁ Εἱρμὸς**

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος».

Γυναῖκες μετὰ μύρων θεόφρονες ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητόν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικόν, σοῖς Χριστέ, Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχὴν καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος. αὕτη ἡ σωτήριος νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου σωματικῶς, πᾶσιν ἐπέλαμψεν.

Καταβασία. Ὁ παῖδες ἐκ καμίνου ρυσάμενος κτλ.

Αἴτησις καὶ Ἐκφώνησις. Εἴη τὸ κράτος κτλ.

**Ὠδὴ η΄. Ὁ Εἱρμός.**

«Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων· ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεν-

νήματος, τῆς θείας εὐφροσύνης ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, Σιών, καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καὶ βορρᾶ, καὶ θαλάσσης καὶ ἑώας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία. Αὕτη ἡ κλητὴ κτλ.**

Αἴτησις καὶ Ἐκφώνησις. Ὅτι ηὐλόγηται κτλ.
Εἶτα ὁ Διάκονος.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ Φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Καὶ ψάλλεται ἡ

**Ὠδὴ θ΄. Ὁ Εἱρμός**

«Φωτίζου, φωτίζου, ἡ νέα Ἱερου-

σαλήμ, ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε· Χόρευε νῦν καὶ ἀγάλλου, Σιών· σὺ δέ, ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου».

Ὢ θείας! ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς! μεθ' ἡμῶν ἀψευδῶς γὰρ ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος, Χριστέ· ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος κατέχοντες, ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα καὶ ἱερώτατον, Χριστέ· ὢ Σοφία καὶ Λόγε τοῦ Θεοῦ καὶ Δύναμις· δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς Βασιλείας σου

**Τὰ τροπάρια τοῦτα συμψάλλονται μετὰ τῶν ἑπομένων Μεγαλυναρίων**

Μεγάλυνον, ψυχή μου, τὸν ἐθελουσίως παθόντα καὶ ταφέντα καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Μεγάλυνον, ψυχή μου, τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.

Σήμερον πᾶσα κτίσις ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἀνέστη καὶ ᾅδης ἐσκυλεύθη.

**Δόξα**

Μεγάλυνον, ψυχή μου τῆς τρισυποστάτου καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος

**Καὶ νῦν**

Χαῖρε, Παρθένε, χαῖρε· χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη· σὸς γὰρ Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

**Καταβασία**

Ὁ Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

**Φωτίζου, φωτίζου κτλ.**

Τὸ Χριστὸς ἀνέστη τρίς· τὸ Ἀναστὰς ὁ Ἰησοῦς, ἅπαξ Συναπτὴ μικρά. Αἴτησις καὶ Ἐκφώνησις: Ὅτι σὲ αἰνοῦσι κτλ. Καὶ εὐθὺς τὸ

Ἐξαποστειλάριον αὐτόμελον.

**Ἦχος β'**

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.

Ἐκ γʹ

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

**Ἀπόστολος. Προκείμενον. Ἦχος πλ. δʹ**

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ

Στιχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Αʹ 1—8

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀστόλοις διὰ Πνεύματος Ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη. Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν

αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι᾽ ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς Βασιλείας τοῦ Θεοῦ· Καὶ συναυλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἥν ἠκούσατέ μου· Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ἡμῶν ἐστι γνῶναι χρόνους ἤ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ᾽ ἡμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς.

Ἀλληλούϊα. Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου Κύριε.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. α΄ 1—17

Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὅ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ φωτός, ἵνα πάντες πιστεύσωσι δι᾽ αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὅ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ

ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγε λέγων· Οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο(1).

---

(1) Πρβλ. Τυπικὸν τῆς Μ. Ἐκκλησίας.

**Εἰς τοὺς Αἴνους. Ἦχος πλ. α΄**

Στίχ. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινόν, ἅγιον· Πάσχα μυστικόν· Πάσχα πανσεβάσμιον· Πάσχα Χριστὸς ὁ λυτρωτής· Πάσχα ἄμωμον, Πάσχα μέγα Πάσχα τῶν πιστῶν. Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα, πάντας ἁγιάζον πιστούς.

Στίχος. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Δεῦτε ἀπὸ θέας, γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· δέχου παρ᾿ ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ τέρπου, χόρευε καὶ ἀγάλλου, Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστὸν θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

Στίχος. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Αἱ μυροφόροι γυναῖκες ὄρθρου βαθέως ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος αὐταῖς οὕτως ἔλεγε: Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς αὐτοῦ μαθηταῖς.

Στίχος. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Πάσχα τὸ τερπνόν· Πάσχα Κυρίου Πάσχα· Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· Πάσχα ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα· ὢ Πάσχα λύτρον λύπης! καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

**Δόξα καὶ νῦν Ἦχος πλ. δ′**

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Εἶτα τὸ Χριστὸς ἀνέστη ἐκ γ´

Τὸ αὐτὸ ψάλλομεν μέχρι τάφου.

Μετὰ δὲ τὴν ἑβδομάδα τῆς Διακαινησίμου, ἀφοῦ εἰσέλθωμεν ἐν τῷ Ναῷ, μετὰ τοῦ λειψάνου, ὁ ἱερεὺς λέγει· Εὐλογητὸς ὁ Θεὸς κτλ. Εἶτα τό, Χριστὸς ἀνέστη, ὑπ᾽ αὐτοῦ ἅπαξ, καὶ ἀνὰ μίαν ὑπὸ τῶν χορῶν, καὶ ἀκολούθως ἡ συνήθης νεκρώσιμος ἀκολουθία ὡς προδιετυπώθη.

Ἡ ἐν Κων)πόλει Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία διὰ

τῆς ὑπ᾽ ἀριθ. $\frac{1900}{3\text{-}7\text{-}87}$ ἐγκυκλίου ὥρισε καὶ τὸν τύπον τῆς ταφῆς νεκροῦ Ἀγγλικανικῆς ὁμολογίας. Κατὰ τούτην: Ὁ Ἱερεὺς ποιεῖ εὐλογητόν. Εἶτα ἐν τῇ ἐκφορᾷ· τοῦ νεκροῦ ψάλλεται τὸ Ἅγιος ὁ Θεὸς μέχρι τοῦ Ναοῦ ἢ τοῦ τάφου. Ἐν τῷ Ναῷ ψάλλονται οἱ ὡρισμένοι στίχοι τοῦ Ἀμώμου χωρὶς αἰτήσεων καὶ ἐκφωνήσεων. Εἶτα ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον εἰς τεθνεῶτας καὶ γίνεται ἡ συνήθης μικρὰ ἀπόλυσις. Κατατεθέντος τοῦ νεκροῦ ἐν τῷ τάφῳ ὁ ἱερεὺς ἐπιρρίπτει γῆν ἐπιλέγων: Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Καὶ οὐδὲν πλέον.

ΤΕΛΟΣ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ

"ΤΟΥΛΑΣ - ΜΑΥΡΑΚΟΣ,,

ΟΔΟΣ ΕΡΜΟΥ 45 - ΕΝ ΠΑΤΡΑΙΣ

---

1) ΚΑΤΑΒΑΣΙΑΙ

2) ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΝΑΓΝΩΣΤΟΥ (ΣΥΛΛΕΙΤΟΥΡΓΙΚΩΝ)

3 ΑΠΟΚΑΛΥΨΙΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

4) ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΚΥΡΙΟΥ ΥΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

5) ΒΙΟΙ ΑΓΙΩΝ

6) ΑΠΑΝΤΑ ΤΑ ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΒΙΒΛΙΑ